λείας ἠθέλησεν ἀνασώσασθαι, καὶ εἰς ἑαυτὸν ἐπιστρέψαι
καὶ πρὸς σωτηρίαν ἀνακαλέσασθαι, οὐδὲν ἐλλιπὲς συνιδεῖν
ὡς ἀπ' ἀρχῆς τὸ ἀνθρώπινον σύγκριμα τῆς ἀγαθουργοῦ
παλάμης ἔργον ἐκδιδάσκει ἡ παραβολή. Πάντως
γὰρ τὸ ἀπολωλὸς πρόβατον, τῆς μάνδρας πρότερον
τῶν σεσωσμένων γεγονὸς, ὕστερον δὲ τῆς ἀγέλης ἀπο-
σκιρτήσας εἰς τὴν τῆς ~~...~~ ἀπωλείας ἀπεπλανήθη
ὁδόν. Τὸ μὲν γὰρ ἀπ' ἀρχῆς δι' ἀπωλείας φύν,
l. οὐδ' ὅλως — οὐδ' ἔχει φύσιν πρὸς τὴν σωτηρίαν ἐπανελθεῖν, μᾶλ-
λον δὲ ~~οὐδ' ὅλως~~ ἐπὶν αὐτῷ τὸ ἐπανελθεῖν οὐδὲ τὸ ἀνα-
σωθῆναι. Ἀλλ' οὐδ' ἐπῆλθεν αὐτῷ τὸ ἀπολωλέναι, εἴπερ
l. τοῦ — ἐκ χείρονος μὲν ἅμα τῷ φῦναι προῆλθεν ἀρχῆς, οὐδέπο-
τε δὲ τῆς ἀγαθότητος καὶ σωτηρίας ὤφθη μέτοχον. Ἢ γὰρ
γέγονεν οὐδαμῶς, ἢ πῶς ἂν ἐκεῖθεν ἐκβὰν κατέπεσεν;
Καὶ ~~ὁ~~ ὁ σωτηρίας ἀμέτοχος προελθὼν, πῶς ἂν εἰς ἀπώ-
λειαν κατενεχθείη, ἢ λέγοιτ' ἂν ἀπολωλός; Ἀλλὰ μὴν
καὶ ὁ φιλάνθρωπος ἡμῶν δεσπότης, ὁ τῆς ἀληθείας δι-
δάσκαλος καὶ χορηγὸς, τοῦ ἀπολωλότος μνήμην ποιούμε-
νος πολλαχοῦ, οὐδαμοῦ συγκατεσκευασμένην αὐτῷ τὴν
κακίαν, ἢ τὴν ἀπώλειαν, οὐ μένουσαν οὐδὲ μέχρι ψιλῆς
ἐπινοίας, παραδηλοῖ. Ἀεὶ δὲ, ὡς ὕστερον τῆς τάξεως,
καὶ τῆς τῶν ἄλλων συναφείας τε, καὶ συνδιατριβῆς ἀπο-
ρραγὲν, οὕτως ἀπενεχθῆναι πρὸς τὴν ἀπώλειαν παρέχε-
ται. Καὶ ~~γὰρ~~ γάρ φησι· Τί ὑμῖν δοκεῖ, ἐὰν γένηταί τινι
ἀνθρώπῳ ἑκατὸν πρόβατα; Ἰδοὺ τὰ ἑκατὸν πρόβατα
πᾶσα ἡ ἀγέλη ἀπλανής. Οὐδὲν αὐτῶν τέως οὔτε πεπλα-
νημένον οὔτε ἀπολωλός. Εἶτα κἂν πλανηθῇ ἓν ἐξ αὐ-
τῶν, τῆς ἀγέλης, τῶν σωζομένων διέστη, τῶν μὴ πεπλα-
νημέ-